ἀεὶ ἐν τῷ παρὰ φύσιν εἶναι, ἀλλὰ καὶ ἐπὶ τὸ κατὰ φύσιν ὁδεύειν· εἰ οὖν μηδὲν ἡμᾶς ὠφελεῖ ἡ κόλασις, μηδὲ ἐπὶ τὸ κρεῖττον φέρει, μάτην γέγονεν, οὐδὲν δὲ μάτην οὐδὲ ὁ θεὸς οὐδὲ ἡ φύσις ποιεῖ. τί οὖν ἐστι τὸ λεγόμενον παρ' αὐτοῦ, ὅτι **3**
ἀεί; φαμέν· ὅτι ἑπτά εἰσι σφαῖραι, ἡ τῆς Σελήνης καὶ τοῦ Ἡλίου καὶ αἱ λοιπαί· ἔστιν δὲ η̅ ἡ τῆς ἀπλανοῦς· ἡ μὲν οὖν σεληνιακὴ θᾶττον ἀποκαθίσταται, διὰ γὰρ λ̅ ἡμερῶν, ἡ δὲ τοῦ Ἡλίου βραδύτερον, δι' ἐνιαυτοῦ γάρ· ἔτι δὲ μᾶλλον ἡ τοῦ Διός, διὰ ι̅β̅ γάρ, πολλῷ δὲ μᾶλλον ἡ τοῦ Κρόνου, διὰ λ̅ γάρ· οὐκοῦν οὐδὲ συναποκαθίστανται οἱ ἀστέρες ἀλλήλοις, εἰ μὴ κατὰ τὸ σπάνιον· οὕτω γ' οὖν ὁ τοῦ Κρόνου καὶ ὁ τοῦ Διὸς διὰ ξ̅ ἐτῶν συναποκαθίστανται· εἰ γὰρ ὁ τοῦ Διὸς ἀπὸ τοῦ αὐτοῦ ἐπὶ τὸ αὐτὸ διὰ ι̅β̅ ἐτῶν ἔρχεται, ὁ δὲ τοῦ Κρόνου διὰ λ̅, δῆλον ὅτι ὅσον ὁ Ζεὺς πεντάκις κινεῖται, ἐν τοσούτῳ ὁ Κρόνος δίς, καὶ γίνεται δὶς μὲν λ̅ ξ̅, πεντάκις δὲ ι̅β̅ ξ̅, ὥστε συναποκαθίστανται διὰ ξ̅ ἐτῶν· αἱ οὖν ψυχαὶ τοιαύτας τινὰς περιόδους κολάζονται, συναποκαθίστανται δὲ καὶ αἱ ζ̅ σφαῖραι τῇ ἀπλανεῖ, ἀλλὰ διὰ πολλῶν μυριάδων ἐτῶν· ταύτην οὖν τὴν περίοδον τῆς συναποκαταστάσεως τῶν ζ̅ μετὰ τῆς ἀπλανοῦς τὸν ἀεὶ χρόνον εἶπεν· αἱ οὖν πατροφόνοι ψυχαὶ ἢ μητροκτόνοι ἢ ἁπλῶς αἱ τοιαῦται τὸν ἀεὶ χρόνον καλάζονται ἀντὶ τοῦ τὴν περίοδον ταύτην· εἰ δέ τις εἴποι, ὅτι καὶ εἰ ἀποθάνοι σήμερον πατροφόνος ψυχὴ καὶ μετὰ ς̅ μῆνας ἢ γ' οὖν ἔτη ἢ καὶ ἡμέρας γενήται ἡ συναποκατάστασις τῶν ζ̅ μετὰ τῆς ἀπλανοῦς, ἐκεῖνον μόνον τὸν χρόνον κολάζονται· εἰπέ· ὅτι οὐ τοῦτο λέγω, ἀλλ' ὅτι τοσαῦτα ἔτη κολάζεται, ὅσα ἀρκεῖ πρὸς τὴν συναποκατάστασιν, οἷον εἰ διὰ χιλίων γίνεται ἡ συναποκατάστασις ἐτῶν, ὅτε δή ποτε ἀποθάνῃ, χίλια ἔτη κολάζεται· τοῦτον οὖν τὸν χρόνον καὶ ταύτην τὴν περίοδον ἀεὶ εἶπεν, ἐπεὶ ἀδύνατον ἐπ' ἄπειρον κολάζεσθαι· ἐπιστρέφει

---

5 mg. λύσις   6 mg. ση. τὸ ἀεὶ τὴν κόλασιν εἶναι παναληθὲς ὄν, πῶς αὐτὸ τοῦτο παρερμηνεύει οὗτος   22 mg. ἀπορία   26 mg. λύσις

---

9 πολλῷ] -ι supr. lin. add. Mᶜ